ἐλάχιστοι ἐν τοῖς τοῦ Α πρὸς τὸν Β καὶ τοῦ Γ πρὸς τὸν Δ καὶ
ἔτι τοῖς τοῦ Ε πρὸς τὸν Ζ λόγοις· ἔστωσαν οἱ ΝΞΜΟ·
καὶ ἐπεί ἐστιν ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Ν πρὸς τὸν Ξ·
οἱ δὲ ΑΒ ἐλάχιστοι· οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν
αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε μείζων τὸν μεί-
ζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα· τουτέστιν ὅ τε ἡ-
γούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπό-
μενον· ὁ Β ἄρα τὸν Ξ μετρεῖ· διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Γ τὸν
Ξ μετρεῖ· οἱ ΓΒ ἄρα τὸν Ξ μετροῦσιν· καὶ ὁ ἐλάχιστος
ἄρα ὑπὸ τῶν ΒΓ μετρούμενος τὸν Ξ μετρήσει· ἐλά-
χιστος δὲ ὑπὸ τῶν ΒΓ ~~μετρεῖται~~ [illegible] τὸν Ξ μετρεῖ
ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄ-
ρα ἔσονταί τινες τῶν ΗΘΚΛ ἐλάσσονες ἀριθμοὶ ἑξῆς ἀνάλογον
ἔν τε τῷ τοῦ Α πρὸς τὸν Β καὶ τῷ τοῦ Γ πρὸς τὸν Δ καὶ
ἔτι τῷ τοῦ Ε πρὸς τὸν Ζ λόγῳ· μὴ μετρείτω δὴ ὁ Ε τὸν
Κ· καὶ εἰλήφθω ὑπὸ τῶν ΕΚ ἐλάχιστος μετρούμενος
ἀριθμὸς ὁ Μ· καὶ ὁσάκις μὲν ὁ Κ τὸν Μ μετρεῖ, το-
σαυτάκις καὶ ἑκάτερος τῶν ΗΘ ἑκάτερον τῶν ΝΞ
μετρείτω· ὁσάκις δὲ ὁ Ε τὸν Μ μετρεῖ, τοσαυτάκις
καὶ ὁ Ζ τὸν Ο μετρείτω· ἐπεὶ ἰσάκις ὁ Θ τὸν Ν μετρεῖ
καὶ ὁ Η τὸν Ξ· ἔστιν ἄρα ὡς ὁ Θ πρὸς τὸν Η οὕτως ὁ Ν
πρὸς τὸν Ξ· ὡς δὲ ὁ Θ πρὸς τὸν Η οὕτως ὁ Α πρὸς
τὸν Β· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β οὕτως ὁ Ν πρὸς τὸν
Ξ· διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Ξ
πρὸς τὸν Μ· πάλιν ἐπεὶ ἰσάκις ὁ Ε τὸν Μ μετρεῖ καὶ
ὁ Ζ τὸν Ο· ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Ζ οὕτως ὁ Μ

πρὸς τὸν Ο· οἱ ΝΞΜΟ ἄρα ἑξῆς ἀνάλογόν εἰσιν ἐν τοῖς τοῦ Α πρὸς
τὸν Β καὶ τοῦ Γ πρὸς τὸν Δ καὶ τοῦ Ε πρὸς τὸν Ζ λόγοις· λέ-
γω δὴ ὅτι καὶ ἐλάχιστοι· εἰ γὰρ μή εἰσιν οἱ ΝΞΜΟ ἑξῆς ἐ-
λάχιστοι ἐν τοῖς ΑΒ ΓΔ λόγοις· ἔσονταί τινες τῶν ΝΞΜΟ ἐ-
λάσσονες ἀριθμοὶ ἑξῆς ἐν τοῖς ΑΒ ΓΔ ΕΖ λόγοις· ἔστω-
σαν οἱ ΠΡΣΤ· καὶ ἐπεί ἐστιν ὡς ὁ Π πρὸς τὸν Ρ· οὕτως ὁ Α
πρὸς τὸν Β· οἱ δὲ ΑΒ ἐλάχιστοι· οἱ δὲ ἐλάχιστοι μετροῦσι
τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰσάκις ὅ τε ἡγούμε-
νος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· ὁ Β ἄ-
ρα τὸν Ρ μετρεῖ· διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Γ τὸν Ρ μετρεῖ· οἱ ΒΓ
ἄρα τὸν Ρ μετροῦσιν· καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν ΒΓ
μετρούμενος τὸν Ρ μετρήσει· ἐλάχιστος δὲ ὑπὸ τῶν ΒΓ
μετρούμενός ἐστιν ὁ Η· ὁ Η ἄρα τὸν Ρ μετρεῖ· καὶ ἔστιν ὡς
ὁ Η πρὸς τὸν Ρ· οὕτως ὁ Κ πρὸς τὸν Σ· καὶ ὁ Κ ἄρα τὸν Σ
μετρεῖ· μετρεῖ δὲ καὶ ὁ Ε τὸν Σ· οἱ ΕΚ ἄρα τὸν Σ μετροῦσιν·
καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν ΕΚ μετρούμενος τὸν Σ
μετρήσει· ἐλάχιστος δὲ ὑπὸ τῶν ΕΚ μετρούμενος ἐστὶν
ὁ Μ· ὁ Μ ἄρα τὸν Σ
μετρεῖ ὁ μείζων τὸν
ἐλάσσονα· ὅπερ
ἐστὶν ἀδύνατον· οὐ-
κ ἄρα ἔσονταί τινες
τῶν ΝΞΜΟ ἐλάσσο-
νες ἀριθμοὶ ἑξῆς
ἔν τε τοῖς τοῦ Α πρὸς
Β καὶ τοῦ Γ πρὸς Δ.





BIBL. BODL.

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo